eul_wid: oho-ab

*Δωρόθεος ὁ Σιδώνιος* · Dorotheus of Sidon

# Other Ancient Fragments

*Ἄλλα Ἀρχαῖα Ἀποσπάσματα*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Ἐπιστήμη* Science
**Format:** *Πραγματεία* Treatise

3a (1t) Δωροθέου Σιδωνίου τῶν ἑπτὰ ἀστέρων ἐπίθετα Κρόνος· Φαίνων, ἀγκυλομήτης, βλαβερός, βραδύς, χλευαστής, δυσαυγής, κρυόεις, βραβευτής, ψυχρός. Ζεύς· Φαέθων, αἰγίοχος, βασίλειος, εὐφεγγής, πολυφεγγής, Κρονίδης, ὑψιμέδων. Ἄρης· Πυρόεις, ὑπήνεμος, ἐγχέσπαλος, θοῦρος, κορυθαίολος, βροτολοιγός, φλογολαμπής, ὄμβριμος. Ἥλιος· Τιτάν, φάων, Ὑπερίων, χρυσαυγής, λαμπής. Ἀφροδίτη· Φωσφόρος, Ἕσπερος, χρυσῆ, λαμπάκτις, ἀφρογένεια, διπρόσωπος, εὐστέφανος, Παφίη, Κυθερία. Ἑρμῆς· Στίλβων, Ἀργεϊφόντης, διάκτωρ, Κυλλήνιος, ὀξύς, πινυτός, ὠκύς, φαιδρός. Σελήνη· σελασφόρος, Μήνη, διχόζωνος, Τιτανίς, πλησιφαής, διχόμηνος, Ἑκάτη, κερόεσσα, χρυσάμπυξ, Θειαντίς, Ἄρτεμις, τριοδῖτις. Ἐπίθετα ὀνόματα τῶν ζ ἀστέρων Ἥλιος· Τιτάν, φάων, ἀκάμας, Ὑπεριονίδης, βασιλεύς, χρυσαυγής.

3a,1 (1t) Κρόνος· Φαίνων, ἀγκυλομήτης, βλαβεραυγής, βραδύς, χλευαστής, ψυχρός, δυσαυγής, κρυόεις, βραβευτής. Σελήνη· πλησιφαής, σελασφόρος, ἑλικαυγής, κερόεσσα, τροχόεσσα, Μήνη, νυκτιμέδουσα, χρυσάμπυξ, πότνια, νυκταυγής, διχόζωνος, διχομήνη, Θειαντίς, ἀργυρόφεγγος. Ζεύς· ὑψιμέδων, πολύφεγγος, Φαέθων, αἰγίοχος, Κρονίδης, εὐφεγγής. Ἄρης· ἐγχέσπαλος, κορυθαίολος, οὐλαμόεργος, ὀλοφώιος, βροτολοιγός, πυριμάρμαρος, λοιγολαμπής, ὄβριμος, χαλκεομίτρης, θοῦρος, Πυρόεις, Ἐνυάλιος, κρισαιχμής, ὑπήνεμος, ῥινοτόρος. Ἀφροδίτη· Κυθέρεια, Κύπρις, κογχογενής, ζευξίγαμος, Παφίη, νήσου βασίλεια, Διωναίη, λαμπροφαής, οὐρανίη, θαλασσαίη, ἐρασμίη. Ἑρμῆς· Στίλβων, διάκτορος, Ἑρμείας, σῶκος, ἐριούνης, χελυοξόος. Σχόλιον.

3b σημειωτέον ὅτι οὐ μόνον τὴν φάσιν ἐπὶ ἀνατολῆς, ἀλλὰ καὶ ἐπὶ δύσεως δεῖ λαμβάνειν καὶ στηριγμοῦ. ἀλλὰ καὶ Δωρόθεος τὰς δυτικὰς φάσεις τῶν περιπολούντων ἀστέρων κελεύει ἐγκρίνειν. Ὁ Δωρόθεος ἐν τοῖς ἔπεσιν αὐτοῦ κόλλησιν μὲν καλεῖ τὴν κατὰ σῶμα, συναφὴν δὲ τὴν κατὰ σχῆμα οἱονδήποτε.

3d Ἐπικάμπια δὲ λέγει τὰ τετράγωνα τῶν ἐκλειπτικῶν συνδέσμων. οὕτω καὶ παρὰ τῷ Δωροθέῳ ἔχεις εἰρημένον· ἐπικάμπια λυγρά. Ἀλλ᾽ ἀπό γε τῆς θαυμασίας ἐπιστολῆς ἑῷός μοι ἐπέστης καὶ μαρμαρύσσεις ἀπρόσιτα καὶ ἀπαστράπτεις ὡς ἐαρινὸς Ἥλιος, οἷον κατειληφὼς αὐτὸ τοῦ οὐρανοῦ τὸ μεσαίτατον.

3e,1 τὸ τοῦ παντὸς ἔρεισμα εἶπεν ἂν ὁ Σιδωνόθεν Δωρόθεος. Πολλοῦ δέω πιστεῦσαι Μανέθωνί τε καὶ Δωροθέῳ καὶ Κολοκύνθῳ καὶ τῷ πάντων μάλιστα τὰ τοιαῦτα ἠκριβωκότι Κλαυδίῳ τῷ Πτολεμαίῳ ταῖς ἐκείνων γενεθλιαλογουμέναις βίβλοις τὰ ἡμέτερα ταλαντεύουσιν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

3e,2 … οἷον αὐτίκα καὶ τὰ περὶ γάμου ἐρωτήματα διαιρῶ, παραιτούμενος τά τε τοῦ Μανέθωνος καὶ Δωροθέου τοῦ Σιδωνίου. Ἔτι δὲ Δωρόθεός τε καὶ Ἀννουβίων καὶ Κολόκυνθος καὶ πᾶς μαθηματικὸς ἁπλῶς εἰπεῖν καὶ φυσικὸς καὶ πᾶς ἀρχαῖος ποιητὴς τὸν περὶ θεῶν λόγον οὕτως ἐκλαμβάνεται.

3f,2 Οὐ μόνον δὲ οὗτοι, ἀλλὰ καὶ πάντες οἱ ποιηταί, ἔτι δὲ καὶ οἱ μαθηματικοὶ Ἄμμων καὶ Τιμαῖος, Πτολεμαῖος, Παῦλος, Ἑκτόριος (lege Ῥητόριος), Ἀννουβίων, Κολόκυνθος, Πρωταγόρας Νικήρατος (lege Νικαεύς), Δωρόθεος καὶ λοιποί, ὧν τά τε ὀνόματα καὶ τὰς χρήσεις ἐπέφερον ἄν, εἰ μὴ φορτικός τε καὶ ἀλαζὼν καὶ μακρός τισιν ἔμελλον ἀποφαίνεσθαι, καίπερ νὴ τὴν Ἀδράστειαν δίκην τὴν τοῦ θεοῦ ἀπὸ στήθους ταῦτα λαλῶν καὶ οὐκ ἀπὸ βιβλίων ὁρῶν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org